Studia Ceranea 15, 2025, p. 433–477
https://doi.org/10.18778/2084-140X.15.06
ISSN: 2084-140X
e-ISSN: 2449-8378

COPE
Member since 2018
JM13709

Anastasia Nikolaou (Komotini)
https://orcid.org//0000-0002-3635-0534
e-mail: anikolao@hs.duth.gr

# Byzantine and Post-Byzantine Canons of the Matins in Honour of Saints Constantine and Helena

**Abstract.** This article presents (a) a critical edition of two still unedited Byzantine canons of the Matins and (b) a re-edition of two Byzantine and post-Byzantine canons, all dedicated to Saints Constantine and Helena. Additionally, this article constitutes a continuation and a supplement of a previous publication of ours entitled *The Hymnography in Honour of Saints Constantine and Helena and its Connection with Imperial Ideology*, published in "Studia Ceranea" 13, 2023.

**Keywords:** critical edition, Byzantine and post-Byzantine canons, Saint Constantine, Saint Helena

## 1. Introduction

In the article of ours entitled *The Hymnography in Honour of Saints Constantine and Helena and its Connection with Imperial Ideology* that was published in a previous issue of "Studia Cearnea", we presented in detail the bibliography and the Byzantine and post-Byzantine manuscripts about the hymnography dedicated to the above mentioned Saints[1]. In this article we present the critical edition of four (4) Byzantine and post-Byzantine canons of the Matins (including "apparatus criticus" and "apparatus fontium"). Moreover, we provide an index "verborum memorabilium" following the edition. One of the canons (number II) is edited in two versions due to the essential text differences found in the manuscripts. Modern conventions were followed in punctuation to facilitate the reader, considering that manuscripts' punctuation, particularly the upper point, does not serve the

[1] A. Nikolaou, *The Hymnography in Honour of Saints Constantine and Helena and its Connection with Imperial Ideology*, SCer 13, 2023, p. 619–642.

© by the Author, licensee University of Lodz – Lodz University Press, Lodz, Poland. This article is an open access article distributed under the terms and conditions of the Creative Commons Attribution license CC-BY-NC-ND 4.0 (https://creativecommons.org/licenses/by-nc-nd/4.0/)

Conflicts of interests: None. External funding: None. Received: 2024-08-10. Verified: 2025-05-09. Accepted: 2025-07-16.

grammatical needs of the text but guides the choir by marking the intervals for the performance of the text. The initial letters of proper names and "nomina sacra" have been tacitly capitalized. Simple orthographical mistakes of the copyists were corrected "tacite".

## 2. Conspectus Siglorum

### 2.1. In textu

( ) = expansion of an abbreviation
/ = beginning of a page in the manuscript
< > = text added by the editor
{ } = letters/words extant in the manuscript but rejected as superfluous
υ = syllable
+ + = locus desperandus (words/sentences, the reading, form or meaning of which is doubtful)

### 2.2. In apparatu critico

* = change of verse
acr. = acrostichis
add. = addidi
al. = alius-a-ud
can. = canon
cd., cdd. = codex, codices
cett. = ceteri
del. = delevi
f., ff. = folium, folia
fort.r. = fortasse recte
heirm. = heirmus
in marg. = in margine
m.c. = metri causa
n. = numerus
od. = ode
om. = omittit, omittunt
prim. = primus-a-um

quatt. = quattuor
sec. = secundus-a-um
s.l. = supra lineam
tert. = tertius-a-um
theot. = theotocium
tit. = titulus
trad. = tradidit
trop. = troparium, troparia
v.vv. = versus, versi
vid. = vide

*AB* = "Ἁγιορειτική Βιβλιοθήκη" 23–24, 1937–1938, p. 176–178.

AHG = I. Schirò *et al.*, *Analecta Hymnica Graeca e codicibus eruta Italiae Inferioris*, vol. I–XII, Roma 1966–1980.

CPC = W. Christ, M. Paranikas, *Anthologia graeca carminum christianorum*, Lipsiae 1871.

EE = Σ. Εὐστρατιάδης, *Εἱρμολόγιον*, Ἀθῆναι 2006.

*EPh* = "Ἐκκλησιαστικός Φάρος" 50, 1951, p. 155.

MR = *Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ*, vol. I–VI, Ἐν Ῥώμῃ 1888–1901.

PaR = *Παρακλητική, ἤτοι Ὀκτώηχος ἡ Μεγάλη*, Rome 1883.

*ReO* = S. Gassisi, *Innologia Graeca in onore dei SS. Constantino ed Elena*, "Rome et l' Orient" 6, 1913, p. 57–85.

## 3. Critical edition

### 3.1. Canon I[2]

| | |
|---|---|
| Pa = Parisinus gr. 344, ff. 77r–80r | saec. XV, Diktyon num. 49916 |
| V = Athous, Vatopediou 1667, ff. 180r–183r | saec. XVIII, Diktyon num. 76739 |
| S = Sofia, EHAI gr. 384, ff. 326–332 | saec. XIV, Diktyon num. 61926 |

Μηνὶ τῷ αὐτῷ κα΄ καὶ τῶν ἁγίων ἀποστόλων βασιλέων καὶ ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης.
Ὁ κανών.
Ὠιδὴ α΄. Ἦχος β΄. *Δεῦτε, λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ*

[2] For more details about the bibliography and the manuscripts of the Canon I, see A. Nikolaou, *The Hymnography…*, p. 622–623.

Δεῦτε, πιστοί, ἅπαντες ἀνευφημήσωμεν
ἐν θεοπνεύστοις ᾄσμασιν
καὶ μακαρίσωμεν
τῆς Ἑλένης τὸν γόνον,
τὸν μέγαν Κωνσταντῖνον,
τὸν πρῶτον ἄνακτα.

Σύ, βασιλεῦ, θείᾳ ἐλλάμψει πεφώτισαι˙
ὁ γὰρ Σταυρὸς ὁ τίμιος
ἀστροδεικτούμενος
ἐπεφάνη σοι λέγων˙
Ἐν τούτῳ, Κωνσταντῖνε,
νίκα τῷ ὅπλῳ ἐχθρούς.

Ἐκ τῶν τῆς γῆς τεσσάρων περάτων, ἔνδοξε,
ἡ ἐν Νικαίᾳ σύνοδος
τῷ σῷ προστάγματι
συνηθροίσθη, παμμάκαρ,
Ἀρείου καθελοῦσα
δόγμα τὸ ἄθεον.

Πόλιν τερπνὴν σὺ ἐκ τερμάτων συνέστησας
τὴν ἀληθῶς ἑπτάλοφον
καὶ θεοπύργωτον,
ἔνθα οἱ τῶν Ῥωμαίων
σκηπτοῦχοι κραταιοῦνται
καὶ μεγαλύνονται.

Χαίροις καὶ σύ, ἄνασσα Ἑλένη πάνσεμνε,
ἐν κόσμῳ φανερώσασα
τὸ πανσεβάσμιον
καὶ τρισόλβιον ξύλον,
ἐν ᾧ σαρκὶ ἐπάγη
Χριστὸς ὁ Κύριος.

Θεοτοκίον

Σὲ μακαρίζει πᾶσα κτίσις, πανένδοξε,
τὴν ἐν σαρκὶ κυήσασαν
τὸν πλαστουργήσαντα
τὸν Ἀδὰμ κατ᾽ εἰκόνα
καὶ μείνασαν παρθένον

μετὰ τὸν τόκον, ἁγνή.

---

tit. Pa: Μηνὶ μαΐῳ κα´ τῶν ἁγίων ἐνδόξων καὶ ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης V
ὁ κανὼν Pa: κανὼν V: Ἕτερος κανὼν S Ἰωάννου in marg. S
**heirm.** α´ EE n. 51, Cosmae
**1–6** ed. *EPh* 155 **2** ᾄσμασι V S **6** Ἄνακτα V **7** βασιλεὺς V **13–18** non trad. V **13**: Ἐκ τῶν τεσσάρων τῆς γῆς περάτων, ἔνδοξε S **19** Πάλιν Pa **23** σκηπτροῦχοι V **25–30** non trad. S **25** πάνσοφε V **35** μείνασα παρθένος Pa V **36** ἁγνήν S

---

**1–2** cf. heirm. *1* **33–34** Gn 5, 1

Ὠιδὴ γ´. *Στερέωσον ἡμᾶς ἐν σοί, Κύριε*

Στερέωμα ἡμῖν καὶ τεῖχος ἄρρηκτον
καὶ ὅπλον ἐγένου καὶ σωτηρία
τοῖς ἐν κόσμῳ, θεοπρόβλητε
βασιλεῦ, Κωνσταντῖνε, παμμακάριστε.

Ἐδείχθης καὶ ποιμὴν καὶ βασιλεὺς ἡμῶν
καὶ στῦλος ἐγένου ὀρθοδοξίας˙
τῆς γὰρ πίστεως τὸ σύμβολον
διὰ σοῦ, Κωνσταντῖνε, διδασκόμεθα.

Τὰ θρέμματα τῆς σῆς μεγαλοπόλεως
σὺν πάσαις ταῖς χώραις καὶ πολιτείαις
εὐφημοῦντες ἑορτάζομεν
τὴν ἐτήσιον μνήμην σου, μακάριε.

Συνέλθετε ἡμῖν, πατέρες ἅγιοι,
καὶ δεῦτε τὴν μνήμην τοῦ βασιλέως
Κωνσταντίνου ἑορτάσωμεν,
τοῦ ὑμᾶς συναθροίσαντος εἰς δόξαν Θεοῦ.

Ἑλένην τὴν σεμνὴν νῦν μακαρίσωμεν
συμφώνως καὶ δοξάσωμεν ἐν ὕμνοις
ὡς τὸ ξύλον φανερώσασαν,
τὸν Σταυρὸν τοῦ Κυρίου, τὴν ἐλπίδα ἡμῶν.

Θεοτοκίον

Βροτῶν ὁ πλαστουργὸς ἐκ σοῦ ηὐδόκησεν

τεχθῆναι, Μαρία Θεογεννῆτορ,
ὃν ἱκέτευε, πανάχραντε,
τοῦ σωθῆναι τοὺς πίστει ἀνυμνοῦντας σε.

---

**heirm.** γ´ EE n. 53, Cosmae

**41–44** tert. trop. in S **44** ἐδιδασκόμεθα S: παμμακάριστε V **45–52** non trad. V **45–48** sec. trop. in S **46** ταῖς χώραις καὶ: χώραις τε καὶ S **49–52** non trad. S **53–54**: Ἑλένης τῆς σεμνῆς τὴν μνήμην σήμερον* τιμήσωμεν ἅπαντες συνελθόντες Pa V **57** ηὐδόκησεν Pa: ηὐδόκησε V: εὐδόκησε S **58** Θεοκυῆτορ Pa **60** πίστει: πόθῳ V

---

**1** cf. heirm. *1*

Ὠιδὴ δ´. *Εἰσακήκοα, Κύριε,*
*τὴν ἀκοὴν*
*τῆς σῆς οἰκονομίας*
*καὶ ἐδόξασά σε, μόνε φιλάνθρωπε.*

Τὸν πρωτόστεφον ἅπαντες
χριστιανῶν
ὀρθόδοξον γεοῦχον
ἐν ᾠδαῖς καὶ ᾄσμασιν εὐφημήσωμεν.

Τὸν {συν}αθροίσαντα σύνοδον
ἐν τῇ λαμπρᾷ
Νικαίᾳ μητροπόλει
Κωνσταντῖνον ἅπαντες εὐφημήσωμεν.

Τὴν ἐτήσιον μνήμην σου
σὺν μονασταῖς
καὶ κλήρῳ καὶ ποιμένι
καὶ στρατῷ ἡ πόλις σου ἑορτάζει φαιδρῶς.

Μακαρίζει σε ἅπασα
χριστιανῶν
ὁμήγυρις, Ἑλένη,
ὡς τὸ ξύλον δείξασαν τοῦ Σταυροῦ τοῦ Χριστοῦ.

Θεοτοκίον

Μητροπάρθενε Δέσποινα,
ὑπὲρ ἡμῶν

τῶν πίστει σε τιμώντων,
ὃν ἀσπόρως ἔτεκες, ἐκδυσώπει Χριστόν.

---

**heirm.** δʹ MR III, 15
**61–63**: Τὴν ἐτήσιον ἅπαντες* τοῦ εὐσεβοῦς* τὴν μνήμην Κωνσταντίνου S fort.r. **65–68** al. trop. in S Τὸν καθελόντα ἅπασαν* τὴν δυσσεβῆ* Ἀρείου βλασφημίαν* Κωνσταντῖνον ᾄσμασιν εὐφημήσωμεν. **65** συν- del. m.c. Σύνοδον V **67** μητροπόλει: πόλει Pa **68** ἅπαντες εὐφημήσωμεν: πάντες ἀνευφημήσωμεν Pa **69–72** non trad. S **76** δείξασα V **80** ἐκδυσώπει Χριστόν: ἐκδυσώπησον Pa V

Ὠιδὴ εʹ. *Ὁ τοῦ φωτὸς χορηγὸς*
*καὶ τῶν αἰώνων ποιητὴς Κύριος*
*ἐν τῷ φωτὶ*
*τῶν σῶν προσταγμάτων*
*ὁδήγησον ἡμᾶς·*
*ἐκτός σου γὰρ ἄλλον*
*Θεὸν οὐ γινώσκομεν.*

Ὁ Βασιλεὺς τοῦ παντὸς
χριστιανοῖς πρωτοστεφῆ ἄνακτα
τὸν εὐσεβῆ
Χριστὸς Κωνσταντῖνον
δεδώρηται, δι᾽ οὗ
ὀρθόδοξος πίστις
τῷ κόσμῳ κηρύττεται.

Ἐκ τῶν περάτων τῆς γῆς
συναγαγὼν τοὺς ἱερεῖς ἅπαντας
ἐν τῇ λαμπρᾷ
πόλει Νικαέων
ἐκήρυξας τρανῶς
τὸ μέγα, παμμάκαρ,
τῆς πίστεως σύμβολον.

Ἡ ἐκκλησία τὰ σὰ
ἀνδραγαθήματα βοᾷ, ἔνδοξε·
ἡ ὑπὸ σοῦ
καινισθεῖσα πόλις
θαυμάτων τὰ τερπνά·
ἡ λάρναξ σου βρύει
πηγὴν τῶν ἰάσεων.

Τὴν τοῦ Ἀρείου σαφῶς
βδελυρωτάτην καὶ πικρὰν αἵρεσιν
καταβαλὼν
ἐδίδαξας πάντας
Τριάδα προσκυνεῖν
ἐν μιᾷ οὐσίᾳ
καὶ μιᾷ θεότητι.

Σὺ τὸν Σταυρὸν τοῦ Χριστοῦ
τὸν κεκρυμμένον ἐν τῇ γῇ ἔδειξας
χριστιανοῖς
ὅπλον κραταιόν τε
καὶ νίκην κατ᾽ ἐχθρῶν˙
διό σου τὴν μνήμην,
Ἑλένη, δοξάζομεν.

Θεοτοκίον

Ὁ τοῦ Ἀδὰμ πλαστουργὸς
καὶ τῶν αἰώνων ποιητὴς Κύριος
σάρκα λαβὼν
ἐξ ἀπειρογάμου
προέρχεται Μητρὸς
καὶ ταύτης τὴν μήτραν
τηρεῖ ἀδιάφθορον.

---

**heirm.** ε΄ MR III, 15
**87** κεκήρυκται S **88–94** non trad. V S **95–101** non trad. V **100** σου βρύει: ἐκβλύζει S **101** πηγὴ Pa **103** βδελυξωτάτην (sic) Pa πικρὰν: σαθρὰν S fort.r. **108** μία Pa **110** ἔδειξας: δείξασα S fort.r. **112** κραταιόν τε: ἐδωρήσω S fort.r. **115** Ἑλένη S: αἰσίως V: αἰτησίως (sic) Pa

---

**88** Ps 60, 3 et passim Mt 12, 42 Lc 11, 31 **117**: cf. heirm. *2*

Ὠιδὴ στ΄. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Βασιλέων ἐγένου ὑπέρλαμπρος
καὶ τῆς ἐκκλησίας ποιμὴν καὶ διδάσκαλος
καὶ ἱερέων καύχημα,
ὀρθοδόξων τε πάντων καλλώπισμα.

Ὁ τὸν Ἄρειον ῥήξας τὸν ἄθεον
σήμερον ἐκ γῆς μετετέθη πρὸς Κύριον
καὶ ἐν χορῷ ἀγάλλεται
τῶν ἁγίων ἀγγέλων ὡς ἅγιος.

Ὡς πολλὴν παρρησίαν κτησάμενος
πρὸς τὸν ὑπὸ σοῦ δοξασθέντα Χριστὸν τὸν Θεὸν
ὑπὲρ ἡμῶν τῶν δούλων σου
ἱκετεύων μὴ παύσῃ, πανόλβιε.

Μακαρία, Ἑλένη, ἡ μνήμη σου˙
σὺ γὰρ τὸν Σταυρὸν ἐπὶ γῆς ἐφανέρωσας,
ἔνθα Χριστὸς ὁ Κύριος
τὰς ἀχράντους παλάμας ἐξέτεινεν.

Θεοτοκίον

Ἐκ τῶν σῶν παναχράντων αἱμάτων, ἁγνή,
σάρκα ὁ Χριστὸς καὶ Θεὸς προσελάβετο
καὶ τῆς ἀρχαίας ἔσωσε
καταδίκης Ἀδὰμ τὸν πρωτόπλαστον.

---

**heirm.** στ΄ EE n. 46, Ioannis
prim. trop. in S Σὲ Χριστὸς ἐκ σπαργάνων, πανεύφημε,* σκεῦος ἐκλογῆς ὡς τὸν Παῦλον ἀνέδειξε* καὶ ὡς ἐκεῖνος ἅπαντα* ἐκδιδάσκεις τὴν πίστιν τὰ πέρατα. **123–126** sec. trop. in S **127–130** non trad. S **127** ῥήξας: δείξας Pa **131–134** non trad. V **138** ἐξέτεινε Pa **139** παναχράντων: πανάχραντε S **140** προσελάβετο: περιβέβληται Pa V **141** ἔσωσε: ῥύεται Pa V

Ὠιδὴ ζ΄. *Εἰκόνος χρυσῆς*

Σταυρῷ ὁπλισθεὶς
ὁ πανένδοξος καὶ μέγας Κωνσταντῖνος
πάντα τὰ βάρβαρα καὶ ἀλλόφυλα
χριστιανοῖς καθυπέταξεν
ἔθνη καὶ φωτίσας τῇ πίστει
θαρσαλέως ἐκραύγαζεν˙
Εὐλογητὸς εἶ, ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ναοὺς καὶ βωμοὺς
τῶν εἰδώλων καταστρέψας, παμμακάριστε,
ναοὺς Κυρίῳ ᾠκοδόμησας

καὶ τῶν ἁγίων τὰ λείψανα
τούτοις εὐσεβῶς ἐναπέθου
καὶ πανσόφως ἀνέκραζες˙
Εὐλογητὸς εἶ, ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἐξῆρε Χριστὸς
τὸ μνημόσυνον ἐκ γῆς πάσης αἱρέσεως
τῇ μεσιτείᾳ σου, πανσεβάσμιε,
τῶν Ἀποστόλων διάδοχε,
καὶ ἐν οὐσιότητι μιᾷ
τὴν Τριάδα δοξάζοντες
σοῦ τὴν μετάστασιν ἐνδόξως μακαρίζομεν.

Ἑλένην, πιστοί,
εὐφημήσωμεν ὡς μόνην φανερώσασαν
τὸ πανσεβάσμιον καὶ τρισόλβιον
καὶ ὑπεράγιον σέβασμα,
ξύλον τοῦ Σταυροῦ τοῦ Κυρίου,
καὶ συμφώνως βοήσωμεν˙
Εὐλογητὸς εἶ, ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον

Ἐν σοὶ ὁ Χριστὸς
κατεσκήνωσε, Παρθένε ἀπειρόγαμε,
καὶ ἀναπλάττει τὸ ἀνθρώπινον
ἐν τῇ κοιλίᾳ σου, ἄχραντε˙
καὶ σὲ προστασίαν καὶ τεῖχος
καὶ ἐλπίδα κεκτήμεθα
οἱ μετὰ πίστεως τῇ σῇ σκέπῃ προστρέχοντες.

---

**heirm.** ζ΄ EE n. 53, Cosmae
**145**: πάντα τὰ πέρατα καὶ τὰ βάρβαρα Pa V **147–148**: ἔθνη κραυγάζειν ἐν πίστει* τῷ Κυρίῳ ἐδίδαξεν S **149, 156** εἶ om. Pa **152** Κυρίου Pa **154** τούτους Pa V **155**: μελῳδῶν τῷ ποιήσαντι S fort.r. **157–163** non trad. V **161** μία Pa **167** ὑπεράρχιον Pa **167–168**: ξύλον τοῦ Σταυροῦ τοῦ Κυρίου* τὸ ὑπεράγιον σέβασμα (sic) S **168** τὸν Σταυρὸν Pa **169** κραυγάσωμεν Pa V **172** κατεσκήνωσεν Pa **174** ἐν om. Pa

---

**149, 156, 170** Dn 3, 26 **157–158** Ps 33, 17

Ὠιδὴ η΄. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Σοῦ τὴν ζωὴν ἀνευφημῶ
καὶ τὸν θάνατον τιμῶ καὶ τὴν ταφήν σου
καὶ τὴν λάρνακα πίστει
τὴν πορφυρᾶν προσκυνῶ
καὶ σέβω τὸ τίμιον λείψανον,
ἔνθα ἀναβλύζει
ἰάσεων πλημμύρα.

Σὺ χαλινὸν προφητικῶς
τὸν τοῦ ἵππου κατεσκεύασας, παμμάκαρ,
ἐκ τῶν τιμίων ἥλων
τῶν ἐμπαρέντων χερσὶν
ἁγίαις Χριστοῦ τοῦ Θεοῦ ἡμῶν˙
{καὶ} τοῦτο ὅπλον εὗρες
κατ᾽ ἐχθρῶν ἐν πολέμοις.

Σὺ βασιλεύσας ἐπὶ γῆς
ἐν τριάκοντα καὶ δύο χρόνοις, ἄναξ,
καὶ καλῶς κυβερνήσας
ὃν ἐπιστεύθης λαὸν
μετέστης ἐνδόξως πρὸς Κύριον
καὶ συμβασιλεύεις
αὐτῷ εἰς τοὺς αἰῶνας.

Τὴν φανερώσασαν ἡμῖν
τὸν Σταυρὸν τὸν τοῦ Χριστοῦ μετὰ τῆς λόγχης
καὶ τῶν ἥλων Ἑλένην
τὴν μακαρίαν, πιστοί,
συμφώνως ὑμνήσωμεν ᾄσμασιν
καὶ τὴν μνήμην ταύτης
τιμήσωμεν ἐνδόξως.

Θεοτοκίον

Ἀγαλλιάσθω οὐρανὸς
σὺν ἀγγέλοις καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις˙
ὁ τῶν ὅλων γὰρ Κτίστης
ἄνευ σπορᾶς ἐκ Μητρὸς
ἁγίας Παρθένου προέρχεται

ὅλην τῶν ἀνθρώπων
τὴν φύσιν ἀναπλάττων.

---

**heirm.** η΄ EE n. 47, Ioannis
**180** τὴν: τὸν V πίστιν Pa **181** τὴν πορφυροῦν Pa: τὸν πορφυροῦν V: τιμητικῶς S **184** πλημμύρας V **185–191** non trad. S V **190** καὶ del. m.c. **193**: εὐσεβῶς καὶ θεαρέστως, Κωνσταντῖνε S fort.r. ἐν τριάκοντα V: τεσσαράκοντα Pa **196** ἐνδόξως: εὐκλεῶς Pa V **200** τοῦ om. S **203** ὑμνήσωμεν ᾄσμασιν: ταύτην εὐφημήσωμεν V: ταύτην ἐνιμήσωμεν (sic) Pa **204**: καὶ ταύτης τὴν μνήμην Pa **204–205**: ἀνυμνολογοῦντες* Χριστὸν εἰς τοὺς αἰῶνας S **212** ἀναπλάσας Pa V

---

**185–191** Zach 14, 20 **198** cf. Od 8, 57 **206–207** Ps 95, 11 Is 49, 13

Ὠιδὴ θ΄. *Τὸν ἐκ Θεοῦ Θεὸν λόγον*

Μέγας ποιμὴν ἀνεδείχθης,
Κωνσταντῖνε παμμάκαρ,
καὶ φῶς χριστιανῶν καὶ βασιλεύς˙
σὺ γὰρ ἡμᾶς πάντας ἔσωσας,
διὰ σοῦ προσκυνοῦμεν
Τριάδα ὀρθοδόξως οἱ πιστοί,
διὰ σοῦ ἐφωτίσθη
ἡ ἐκκλησία ἅπασα.

Σοῦ μακαρία ἡ μνήμη,
ὑπερένδοξε ἄναξ,
ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ˙
σὺ γὰρ φυτὸν κατεφύτευσας
ἐπὶ γῆς καρποφόρον,
ἐκτρέφων τοῦ Κυρίου τὸν λαὸν
τὴν ὀρθόδοξον πίστιν,
τὸ τῆς Τριάδος σύμβολον.

Ὡς μεταστὰς τῶν προσκαίρων
καὶ ταῖς ἄνω χορείαις
ἐνδόξως αὐλιζόμενος πατήρ,
μνείαν ποιοῦ καὶ τῶν τέκνων σου,
τῶν τὴν πόλιν σου ταύτην
οἰκούντων καὶ τελούντων σου πιστῶς
τὴν ἐτήσιον μνήμην
πρὸς τὸν Σωτῆρα Κύριον.

Σὺ ἀνεδείχθης ἐν κόσμῳ
καρποφόρος ἐλαία,
Ἑλένη, ἐκβλαστήσασα ἡμῖν
πᾶσιν τὸ φῶς καὶ τὸ ἔλεος,
τὸν Σταυρὸν τοῦ Κυρίου,
τὴν λόγχην καὶ τοὺς ἥλους, καὶ τὴν σὴν
ὑπερένδοξον μνήμην
τελοῦντες ἑορτάζομεν.

Θεοτοκίον

Χαῖρε, οὐράνιε κλῖμαξ˙
χαῖρε, ἄφλεκτε βάτε˙
χαῖρε, ἡ προστασία τῶν πιστῶν˙
χαῖρε, τροφὲ τῆς ζωῆς ἡμῶν˙
χαῖρε, Μήτηρ καὶ δούλη
Χριστοῦ τοῦ βασιλέως καὶ Θεοῦ˙
χαῖρε, Κόρη Παρθένε,
Μαρία ἀπειρόγαμε.

---

**heirm.** θ΄ EE n. 46, Ioannis
**216** πάντας ἔσωσας: κατεφώτισας S **219** φωτισθεῖσα Pa **229–236** non trad. V **231–232**: ἐνδόξως, παμμακάριστε, ἀεὶ* συναυλιζόμενος μέμνησο S fort.r. **234** καὶ τελούντων: εἰστελούντων Pa **235–236** om. Pa **240** πᾶσι V S **243** ὑπερθαύμαστον Pa V **247** ἡ: μόνη Pa

---

**223** Ps 44, 18 **237–238** cf. Sir 50, 10 **245** Gn 28, 12 **246** Ex 3, 2

### 3.2. Canon II (a)[3]

| | |
|---|---|
| A = Alexandrinus Patr. 93, ff. 75v–77v | saec.?, Diktyon num. 32980 |
| Pb = Parisinus gr. 1566, ff. 64r–67v | saec. XIV, Diktyon num. 51186 |
| Sa = Sinaiticus gr. 637, ff. 62v–66r | saec. XI–XII, Diktyon num. 59012 |
| Sb = Sinaiticus gr. 670, ff. 190v–210v | saec. XIII, Diktyon num. 59045 |

ed. *ReO* 6, 1913, p. 80–84

---

3 For more details about the bibliography and the manuscripts of the Canon II, see A. Nikolaou, *The Hymnography…*, p. 623–624.

Μηνὶ τῷ αὐτῷ κα΄. Τῶν ἁγίων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης.
Ὁ κανών.
Ὠιδὴ α΄. Ἦχος δ΄. *Ἄισομαί σοι, Κύριε ὁ Θεός μου*

Σοὶ τῷ βασιλεύοντι τῶν αἰώνων,
τῷ καθιστῶντι βασιλεῖς
ἀρρήτῳ σοφίᾳ,
βοῶμεν ἐπινίκιον
ᾠδὴν ὡς ζωοδότῃ Θεῷ.

Ἐπέγνως τὸν ἄφθαρτον Βασιλέα,
τὸν τὰ ἐπίγεια σκῆπτρα
τῇ σῇ δεδωκότα χειρὶ
καὶ γέγονας ὑπήκοος,
θεράπον Κωνσταντῖνε, Χριστοῦ.

Ὁ πάλαι τὴν νίκην διὰ Σταυροῦ σου
κατὰ βαρβάρων παρασχὼν
τῷ σῷ Κωνσταντίνῳ,
αὐτὸς τῷ βασιλεῖ ἡμῶν
καὶ τὰ νῦν ἐπικούρησον.

Θεοτοκίον

Σάρκα γεγονότα τὸν Θεὸν Λόγον
καὶ πεφηνότα καθ’ ἡμᾶς,
ἁγία Παρθένε,
ἀφράστως ἀπεκύησας
ὑπὲρ λόγον καὶ ἔννοιαν.

---

tit. Pb A: Μαΐῳ κα΄. Μνήμη Κωνσταντίνου καὶ Ἑλένης τῶν μεγά(λων) βασιλέων Sa: Μηνὶ Μαΐῳ κανὼν τῶν ἁγίων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης τῆς μητρὸς αὐτοῦ Sb
Ἰωάννου A in marg.: Ἰωάννου Μοναχοῦ Sb in marg.
**heirm.** α΄ EE n. 146, Germani
**1–20** cdd. *ReO* 80–81 **1** Σὺ Sa **6** Ἀπέγνως Pb ἄσαρκον *ReO* **8** δεδωκότι *ReO* **10**: πιστῶτατε (sic) θεράπον Χριστοῦ Sa θεράπων Pb **11** σου om. Pb **15** τὰ om. *ReO* **16–20** theot. non trad. Sa

---

**1** Ex 15, 18 **2–3** cf. Dan 2, 21 **6** cf. 1Tim 1, 17 **9** Phil 2, 8

Ὠιδὴ γʹ. *Τόξον δυνατῶν ἠσθένησε*

Ὅπλον, Βασιλεῦ, ὑπέδειξας
τῷ σῷ Κωνσταντίνῳ τοῦ Σταυροῦ σου τὸ τρόπαιον
τῶν βαρβάρων κατὰ τῆς πλάνης
καθαιρέτην ἐργαζόμενος.

Ἔγνως τῷ Σταυρῷ φραξάμενος
τὸ τοῦ σταυρωθέντος, Κωνσταντῖνε, ἀήττητον
καὶ τὰ σκῆπτρα τῆς βασιλείας
εὐσεβείᾳ κατελάμπρυνας.

Ὥσπερ σταυροτύποις ἔτρεψας
ἐν Σινᾷ παλάμαις Ἀμαλὴκ τὸν ἀλλόφυλον,
τοὺς τυράννους τῷ πιστοτάτῳ
βασιλεῖ, Χριστέ, ὑπόταξον.

Θεοτοκίον

Ῥέων μέχρι σοῦ ὁ θάνατος
ἔστη προσβαλὼν τῷ ἐκ σοῦ τεχθέντι, πανάμωμε˙
διὰ τοῦτο ἀθανασίας
ἀπαρχήν σε ὀνομάζομεν.

---

**heirm.** γʹ EE n. 144, Cosmae
**21–36** A Pb Sb *ReO* 81: al. trop. in Sa vid. can. II (b), od. γʹ **23** κατὰ *ReO*: μετὰ cdd. **24** ἐργαζόμενον A Pb **26** τὸ: τῷ Pb **33** Ῥέον *ReO* **34** ἔστι Sb **36** σε om. *ReO*

---

**29–30** Ex 14, 21–28

Ὠιδὴ δʹ. *Τοὺς οὐρανοὺς ἡ ἀρετή σου κατεκάλυψεν*

Τὴν κορυφήν σου τὴν θεόστεπτον ὑμνοῦμεν,
τῶν ἐπιγείων βασιλέων δικαιότατε,
ὀρθοδοξίας στήριγμα,
τῆς ἄνω βασιλείας ἐπάξιε.

Τὴν βασιλείαν σου ἐνδόξως κατεκόσμησε
δικαιοσύνη καὶ πραότης καὶ συμπάθεια
ὀρθοδοξίᾳ λάμπουσαν˙
ὅθεν αἰωνίζει ἡ μνήμη σου.

Δουλοπρεπῶς τῷ αἰωνίως Βασιλεύοντι
τὴν ἁλουργίδα καὶ τὰ σκῆπτρα, Κωνσταντῖνε, {Χριστῷ}
καθυποτάξας ἔλεγες˙
Δόξα τῇ δυνάμει σου, Κύριε.

Θεοτοκίον

Χερουβικῶν <υυ> ταγμάτων ὑπερέχουσα
καὶ Θεὸν ἐν ἀγκάλαις ἐποχούμενον
μετὰ σαρκὸς βαστάσασα,
χαίροις, Θεοτόκε ἀνύμφευτε.

---

**heirm.** δ´ EE n. 146, Germani
**37–44** cdd. *ReO* 81 **37** θεόσεπτον Sb: θεόπνευστον *ReO* ὑμνοῦμεν: an ὑμνήσωμεν m.c. scribendum? **41** κατεκόσμησεν *ReO* **42** συμπαθεία (sic) A **43**: ὀρθοδοξίαν Sa λάμπουσαν Sa *ReO*: λάμπουσα cett. **45–48** non trad. Sa **45** αἰωνίῳ A Pb Sb *ReO* **46** Χριστῷ del. m.c. **49–52** A Pb ed. AHG I, 238 al. theot. in Sb *ReO* Ἀγγελικῶν χοροστασιῶν ὑπερέχουσα* καὶ Χερουβὶμ καὶ Σεραφὶμ ἐνδοξοτέρα,* Θεοτόκε ἄχραντε,* σῷζε καὶ ἡμᾶς ταῖς πρεσβείαις σου. **49** <υυ> an πάντων supplendum? **52** χαῖρε AHG

---

**42** cf. Ps 44, 5 **48** cf. heirm. *4* δόξα τῇ δυνάμει σου, Κύριε

Ὠιδὴ ε´. *Ὁ ἀνατείλας τὸ φῶς*

Τῶν ὁμοφύλων λαῶν
βασιλεύσας θεόθεν
τῷ στέψαντι ἐβόας˙
Δόξα σοι, δόξα σοι,
Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ.

Τῇ ἁλουργίδι φαιδρῶς
καὶ τῷ στέμματι λάμψας,
τῇ πίστει καὶ ἐλπίδι
πλέον διέλαμψας
καὶ ἀγάπῃ Χριστοῦ, ἔνδοξε.

Τὴν ἐπηρμένην ὀφρὺν
καθυπόταξον, Σῶτερ,
τοῖς πίστει σοι βοῶσι˙
Δόξα σοι, δόξα σοι,
Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ.

Θεοτοκίον

Τὴν τοῦ ἀγγέλου φωνὴν
ἀσιγήτως ἡ κτίσις
προσφέρει σοι, Παρθένε,
«χαῖρε, Μήτηρ» κράζουσα
«Ἰησοῦ, {τοῦ} Υἱοῦ τοῦ Θεοῦ».

---

**heirm.** ε΄ EE n. 146, Germani
**53–62** cdd. *ReO* 82 **59**: καὶ τῷ στόματι βάψας *ReO* λάμψας: λάμπω Sa **60** τῇ: καὶ *ReO* **61** πλέων Pb διέλαμψας: διέπρεπες Sa **63–72** A Pb Sb *ReO* **65** βοῶσιν Pb *ReO* quatt. trop. in Sb Ὁ καθοπλίσας Σταυρῷ… vid. vv. 47–51 can. II (b) **72** τοῦ del. m.c. τοῦ Υἱοῦ: Υἱὲ Pb

---

**56–57**, **66–67**, **72** cf. heirm. *4–5* δόξα σοι δόξα σοι, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ **57**, **67** Mc 5, 7 Lc 8, 28 **60–62** 1Cor 13, 13

Ὠιδὴ στ΄. *Ἐβόησε προτυπῶν*

Θεόστεπτε,
εὐσεβεῖ λογισμῷ κυβερνώμενος
καὶ ἀνδρείως
τῶν παθῶν αὐτοκράτωρ γενόμενος
ἐν δικαιοσύνῃ
τὸν λαὸν τοῦ Θεοῦ ἐκυβέρνησας.

Σὺ θεόθεν
βασιλείας τὰ σκῆπτρα δεξάμενος
τῷ τὸ κράτος
δεδωκότι σαυτὸν καθυπέταξας
καὶ ὑπήκοος
τῷ φρικτῷ Βασιλεῖ ἐχρημάτισας.

Ἐπίγειος
βοηθείας ἐλπὶς περιῄρηται˙
ἀλλ᾽ ὁ μόνος
κραταιὸς καὶ δυνάστης ἀνάστηθι
καὶ βοήθησον
τὸν λαόν σου, Χριστέ, ἐξαιρούμενος.

Θεοτοκίον

Δεόμεθα
ὑπὲρ τῶν ἱκετῶν σου, ἀλόχευτε
Παναγία˙
τὸν ἐκ σοῦ σαρκωθέντα δυσώπησον,
ὅτι σὲ καὶ μόνην
προστασίαν ἡμῶν ἐπιστάμεθα.

---

**heirm.** στ´ EE n. 172
**73–84** cdd. *ReO* 82 **73** θεόπνευστε *ReO* **74** εὐσεβῆ Pb Sa λογισμῶν Sa **76** αὐτοκράτορ Sa Sb **84** ἐχρημάτισας: καθυπέταξας A **85–90** A Pb Sb *ReO* **91–96** A Pb ed. MR V, 32 al. theot. in Sb *ReO* Ἀγάλλεται* ἐπὶ σοί, Θεομῆτορ πανάμωμε,* ἡ προμήτωρ* τῆς ἀρχαίας κατάρας τῷ τόκῳ σου* ἐλευθερωθεῖσα* καὶ θανάτου πικροῦ κατακρίσεως. **92** οἰκετῶν MR **93**: Θεοτόκε MR **94** δυσώπησον: ἱκέτευε MR

---

**74–76** 4Mac 1, 7 4Mac 1, 13 4Mac 1, 30 4Mac 16, 1 **86** Is 30, 32 **87–88** 1Tim 6, 15 **88** Ps 23, 8 **88–90** Ps 43, 27

Ὠιδὴ ζ´. *Ἀβραμιαῖοι ποτὲ*
*ἐν Βαβυλῶνι παῖδες*
*καμίνου φλόγα κατεπάτησαν*
*καὶ ὑμνοῦντες ἔψαλλον˙*
*Ὁ τῶν πατέρων ἡμῶν*
*Θεός, εὐλογητὸς εἶ.*

Οἰκονομίαν Θεοῦ
τοῦ ὁμοφύλου γένους
τὴν βασιλείαν ἡγησάμενος,
Κωνσταντῖνε, ἔλεγες˙
Ὁ τῶν πατέρων ἡμῶν
Θεός, εὐλογητὸς εἶ.

Ὡς χριστολάτρης ἄναξ
καὶ βασιλεὺς σταυροφόρος
τοῖς Ἀποστόλοις συνηρίθμησαι,
Κωνσταντῖνε ἔνδοξε,
«εὐλογητὸς εἶ» βοῶν
«ὁ μόνος εὐεργέτης».

Τῇ συμπαθείᾳ κιρνῶν
τὸ τῆς ψυχῆς σου ἀνδρεῖον
τοῖς ὑπηκόοις προσηνέστατος,
ἐχθροῖς φοβερώτατος
καὶ βασιλεὺς ἀληθὴς
δι᾽ ἔργων ἀνεδείχθης.

Θεοτοκίον

Ἐν τῇ ἀφλέκτῳ βάτῳ
καὶ δροσοβόλῳ καμίνῳ
σὺ προεγράφης, Μήτηρ ἄνανδρε,
ἀφράστως κυήσασα
σεσαρκωμένον Θεόν,
ἁγνὴ εὐλογημένη.

---

**heirm.** ζ´ CPC 178
**97–102** cdd. *ReO* 83 **100**: ἐν πίστει ἐκραύγαζες Sa fort.r. collatis vv. 79 et 91 can. II (b) **101** τῶν om. A **103–108** A Pb Sb *ReO* **103** χριστολάτρις *ReO* **107** εἶ om. A al. tert. trop. in Sb Καθοπλισθεὶς τῷ Σταυρῷ… vid. vv. 76–81 can. II (b) **109–114** cdd. *ReO* **109** κιρνῶν Sb: κεράσας cett. **114** ἀπεδείχθης A Sb **115–120** A Pb ed. AHG II, 357 al. theot. in Sb *ReO* Ἐν γενεαῖς γενεῶν* Μήτηρ Παρθένος ὤφθης* εὐλογημένη ὑπὲρ ἔννοιαν* τὸν Λόγον κυήσασα* σεσαρκωμένον ἐκ σοῦ* ὑπερφυῶς, Θεογεννῆτορ. **116** καμίνῳ AHG: αἴγλῃ cdd.: an νεφέλῃ scribendum? **117**: σὺ προγραφεῖσα, μῆτερ ἄχραντε AHG **118** κυήσασα: ἐκύησας AHG **119** Θεὸν: ἁγνὴ A: Χριστόν AHG **120**: Θεὸν εὐλογημένον AHG ἁγνὴ: Θεὸν A

---

**101–102** cf. heirm. *5–6* **107** cf. heirm. *6* **115** Ex 3, 2 **116** Dn 3, 21 et passim

Ὠιδὴ η´. *Τὸν ἐν τῷ Σταυρῷ*

Τὸν ζωοποιὸν
Σταυρὸν ποθήσας
ὡς ἀναφαίρετον ἐκ γῆς
ἠρύσω πλοῦτον, ἄναξ,
πᾶσι τοῖς ἀνυμνοῦσι Χριστόν,
τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Δεῖξον νικητὴν
καὶ τροπαιοῦχον
κατὰ βαρβάρων δυσσεβῶν,

Χριστέ, τὸν βασιλέα,
ὅπως σε ἀνυμνῶμεν πιστοὶ
ὡς Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Τριαδικόν

Τὴν πανευσεβῶς
γνωριζομένην
ἐν ὑποστάσεσι τρισὶν
ἀτμήτως μίαν φύσιν
πάντες ὑπερυψοῦμεν πιστοὶ
καὶ δοξάζομεν εἰς τοὺς αἰῶνας.

---

**heirm.** η΄ EE n. 134, Germani
**121–138** A Pb Sb *ReO* 83: al. trop. in Sa vid. can. II (b), od. η΄ **124** ἐδωρήσω *ReO* **125** πᾶσιν *ReO* ἀνυμνοῦσιν *ReO* **131** ἀνυμνοῦμεν A Sb tert. trop. in Sb Σὺ θεοπρεπεῖ (sic) Σταυροῦ τεμένη* καὶ τῆς ἐγέρσεως Χριστοῦ δειμάμενος ἐβόας* παῖδες ὑπ(ερυψοῦτε) vid. vv. 144–148 **133–138** (Τριαδικόν) Pb in marg.: Θ(εοτοκίον) Sb in marg.

---

**125–126**, **131–132**, **137–138** Dan 3, 57

Εἱρμὸς ἄλλος. *Τὸν ἐν μορφῇ ἀγγέλου ὁραθέντα*
*<καὶ> ἐν καμίνῳ πυρὸς τοῖς ὑμνολόγοις Χριστὸν τὸν Θεὸν*
*ὑμνεῖτε, παῖδες,*
*ἱερεῖς, εὐλογεῖτε,*
*λαός, ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.*

Τῆς πολυθέου πλάνης καθαιρέτης
<καὶ> ἑδραστὴς ἐκκλησιῶν ὑπάρχων, ἄναξ, ἐκραύγαζες˙
Ὑμνεῖτε, παῖδες,
<ἱερεῖς, εὐλογεῖτε,
λαός, ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας>.

Τοῦ Γολγοθᾶ ἐνδόξως τὰ τεμένη
καὶ τῆς ἐγέρσεως Χριστοῦ ἐβόας, ἄναξ, δειμάμενος˙
Ὑμνεῖτε, παῖδες,
<ἱερεῖς, εὐλογεῖτε,
λαός, ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας>.

Διὰ Σταυροῦ βαρβάρων τροπαιοῦχος
καὶ χριστωνύμου <σου> λαοῦ ἐβόας ἄναξ γενόμενος˙
Ὑμνεῖτε, παῖδες,
<ἱερεῖς, εὐλογεῖτε,
λαός, ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας>.

Θεοτοκίον

Ὡς τῆς Τριάδος αἴγλην συλλαβοῦσαν
καὶ <υ> τεκοῦσαν χαρὰν τῇ οἰκουμένῃ Χριστὸν τὸν Θεόν,
τὴν Θεοτόκον
ἱερεῖς, εὐλογεῖτε,
<λαός, ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας>.

---

**heirm.** η´(b) EE n. 137, Ioannis
**139–158** Pb **140** καὶ add. m.c. ὑπάρχων scripsi: ὑπῆρξας cd. ἄναξ, ἐκραύγαζες scripsi m.c. collatis vv. 145 et 150: ἀνεκραύγαζες cd. **150** σου add. m.c. **154** συλλαβοῦσα cd. **155** τεκοῦσα cd.

---

**141–143**, **146–148**, **151–153**, **157–158** Dn 3, 84 et passim cf. heirm. *3–5*

Ὠιδὴ θ´. *Σὲ τὴν τὸν ἀχώρητον λόγον*

Σοῦ τὴν κορυφὴν εὐδοκίας,
Κωνσταντῖνε ἔνδοξε,
τῷ ὅπλῳ ἐστεφάνωσε
καὶ τῆς βασιλείας τὰ σκῆπτρα
Σταυροῦ τῷ τροπαίῳ κραταιώσας
ὁ Χριστὸς προσήκατο
λάτρην εὐσεβέστατον.

Τοὺς τοῦ Ἀβραὰμ ἰσαρίθμους,
Κωνσταντῖνε ἔνδοξε,
κατὰ τῆς πλάνης ἤθροισας,
τοὺς ὑπασπιστὰς τῆς Τριάδος,
Υἱὸν ὁμοούσιον καὶ Πνεῦμα
τῷ Πατρὶ κηρύσσοντας
μίαν τὴν θεότητα.

Ὥσπερ Κωνσταντίνῳ τὸ πάλαι
τῷ Σταυρῷ σου ἔτρεψας

τῶν βαρβάρων τὸ φρύαγμα,
οὕτω τοὺς ἐχθροὺς τοῦ Σταυροῦ σου
καὶ νῦν βασιλεῖ τῷ θεοστέπτῳ
κραταιᾷ παλάμῃ σου,
Σῶτερ, καθυπόταξον.

Θεοτοκίον

Σὲ τὴν φωτοφόρον νεφέλην,
Θεοτόκε ἄχραντε,
παρθένον καὶ Μητέρα Θεοῦ,
τὴν τῷ Μωυσεῖ θεαθεῖσαν
τὸ πρὶν μυστικῶς ἐπὶ τοῦ ὄρους {Σινᾶ}
βάτον ἀκατάφλεκτον
ὕμνοις μεγαλύνομεν.

---

**heirm.** θʹ EE n. 167, Sergii
**159–172** A Pb Sb *ReO* 83–84: al. trop. in Sa vid. can. II (b), od. θʹ **159** Σὲ *ReO* **161** ἐστεφάνωσαι Pb **165** λάτριν *ReO* **166** Τοῖς A Pb **173–179** A Sb *ReO* 84 **173** Ὥσπερ: Ὡς ὑπὲρ A τὸ: τῷ Sb **182** Θεοῦ: τε *ReO* **184** τὸ ὄρος cdd. Σινᾶ del. m.c.

---

**159–161** Ps 5, 13 **166** Gn 14, 14 **180** Ex 13, 21 **183–185** Ex 3, 2 **181** cf. heirm. *6* Θεοτόκε, ἄχραντε **186** cf. heirm. *7* ὕμνοις μεγαλύνομεν

Εἱρμὸς ἄλλος. *Μεγαλύνομεν πάντες*

Βασιλείᾳ ἐννόμῳ
κεχρισμένος ἐγνώσθης˙
ὅθεν, εὐσεβέστατε,
ἐν τοῖς βασιλείοις σε
τοῖς αὐτοῦ ἐν οὐρανῷ
συγκληρονόμον Χριστὸς ὑπεδέξατο.

Εὐσεβῶς βασιλεύσας
καὶ ἐννόμως ἰθύνας
λαὸν τὸν ὑπήκοον,
ὡς Θεῷ ὑπήκοος,
βασιλείας οὐρανῶν
κατηξιώθης, βασιλεῦ θεόστεπτε.

Αὐτοκράτωρ τῶν παθῶν
ἀνεδείχθης, θεόφρον˙
διὸ βασιλείας σοι
ἐπλέξατο στέφανον,
βασιλέα ἐπὶ γῆς
σὲ καταστήσας Χριστὸς ὁ Θεὸς ἡμῶν.

Θεοτοκίον

Χαῖρε, πάνσεμνε ἁγνή,
παρθενίας καύχημα,
μητέρων τὸ στήριγμα,
ἀνθρώπων βοήθεια
καὶ τοῦ κόσμου ἡ χαρά,
Μαρία, Μήτηρ καὶ δούλη τοῦ Θεοῦ ἡμῶν.

---

**heirm.** θ΄(b) EE n. 146, Germani
**187–204** Pb Sa **187**: Βασιλείας ἐν νόμῳ Sa **188** κεχρημένος Sa **192** Χριστοῦ Sa **194** ἐν νόμῳ Sa **196** Θεοῦ Sa **205–210** Pb ed. AHG I, 20 **210** μῆτερ AHG

---

**199** 4Mac 1, 7 4Macc. 1, 13 4Macc. 1, 30 4Macc. 16, 1

### 3.3. Canon II (b)[4]

A = Alexandrinus Patr. 93, ff. 75v–77v
Sa = Sinaiticus. gr 637, ff. 62v–66r

Μαΐῳ κα΄. Μνήμη Κωνσταντίνου καὶ Ἑλένης τῶν μεγά(λων) βασιλέων.
Ὁ κανών.
Ὠιδὴ α΄. Ἦχος δ΄. *Ἄισομαί σοι, Κύριε ὁ Θεός μου*

Σοὶ τῷ βασιλεύοντι τῶν αἰώνων (1–5)
……………………………………… = canon II (a)

Ἐπέγνως τὸν ἄφθαρτον βασιλέα (6–10)
……………………………………… = canon II (a)

---

[4] For more details about the bibliography and the manuscripts of the Canon II, see A. Nikolaou, *The Hymnography*…, p. 623–624.

Ὁ πάλαι τὴν νίκην διὰ Σταυροῦ σου (11–15)
.......................................... = canon II (a)

---

**heirm.** α΄ EE n. 146, Germani

Ὠιδὴ γ΄. *Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ*

Ἐστερεώθη ἡ καρδία σου ἐν Κυρίῳ
καὶ εὐδοκίας στεφανωθεὶς ὅπλῳ ἀξίως
τὴν βασιλείαν ἐγκεχείρισαι.

Τὸν βασιλεύσαντα δικαίως τῶν ἐπιγείων,
βασιλευθέντα δὲ τῇ Χριστοῦ θείᾳ προνοίᾳ,
τὶς οὐκ ἀξίως μακαρίσει σε;

Τὸν χαριζόμενον τὴν νίκην τῷ θεοστέπτῳ
διὰ Σταυροῦ <υ> κατ᾽ ἐχθρῶν ἄνακτα Χριστὸν
δεῦτε ἀπαύστως ἀνυμνήσωμεν.

---

**heirm.** γ΄ EE n. 152, Andreae
**16–24** Sa

---

**16** Od 3, 1 cf. heirm. *1* **17** Ps 5, 13

Ὠιδὴ δ΄. *Τοὺς οὐρανοὺς ἡ ἀρετή σου κατεκάλυψεν*

Τὴν κορυφήν σου τὴν θεόστεπτον ὑμνοῦμεν (25–28)
..................................................... = canon II (a)

Τὴν βασιλείαν σου ἐνδόξως κατεκόσμησε (29–32)
..................................................... = canon II (a)

Τὸ χορηγοῦν ἰσχὺν κατ᾽ ἐναντίων ἐχθρῶν
τῷ φιλοχρίστῳ βασιλεῖ καὶ ὑποτάσσον αὐτῷ
τοὺς ἐκ τῆς Ἄγαρ ἄφρονας
ξύλον τοῦ Σταυροῦ προσκυνήσωμεν.

---

**heirm.** δ΄, EE n. 146, Germani
**33–36** Sa 33 an κατ᾽ ἐχθρῶν ἐναντίων m.c.? **34** ὑποτάσσων cd. **35** Ἄγ- litterae indistinctae

ᾨδὴ εʹ. *Ὁ ἀνατείλας τὸ φῶς*

Τῶν ὁμοφύλων λαῶν (37–41)
................................ = canon II (a)

Τῇ ἁλουργίδι φαιδρῶς (42–46)
................................ = canon II (a)

Ὁ καθοπλίσας Σταυρῷ
τὸν πιστὸν βασιλέα
καὶ πίστει κραταιώσας
δόξα σοι, δόξα σοι,
Ἰησοῦ, <Υἱὲ τοῦ Θεοῦ>.

---

**heirm.** εʹ, EE n. 146, Germani
**47–51** Sa Sb **51** Υἱὲ τοῦ Θεοῦ add. collatis vv. 57 et 67 can. II (a)

ᾨδὴ στʹ. *Ἐβόησε προτυπῶν*

Θεόστεπτε (52–57)
.................... = canon II (a)

Σὺ θεόθεν (58–63)
.................... = canon II (a)

Χορήγησον
βασιλεῖ πιστοτάτῳ, δεόμεθα,
τὴν ἰσχύν σου
διὰ τοῦ ζωηφόρου Σταυροῦ σου, Χριστέ·
ἐν σοὶ γὰρ καυχᾶται
καὶ ἐλπίζων εἰς σὲ διασῴζεται.

---

**heirm.** στʹ, EE n. 172
**64–69** A Sa ed. AHG I, 220: quatt. trop. in A **65** δεώμεθα Sa **66**: τὴν ἰσχὺν κατ᾽ ἐχθρῶν Sa: κατ᾽ ἐχθρῶν σου AHG **67**: τὴν ἰσχὺν διὰ τοῦ Σταυροῦ σου, Χριστὲ AHG

---

**68–69** Rom 5, 2

Ὠιδὴ ζʹ. *Ἀβραμιαῖοι ποτέ*

Οἰκονομίαν Θεοῦ (70–75)
.......................... = canon II (a)

Καθοπλισθεὶς τῷ Σταυρῷ
κατὰ βαρβάρων, ἄναξ,
τροπαιοφόρος ἐχρηματίσας,
διὸ ἀνεκραύγαζες˙
Ὁ τῶν πατέρων ἡμῶν,
Θεός, εὐλογητὸς εἶ.

Τῇ συμπαθείᾳ κιρνῶν (82–87)
.......................... = canon II (a)

Τῷ θεοστέπτῳ, Χριστέ,
καὶ βασιλεῖ πιστοτάτῳ
κατὰ βαρβάρων νίκας δώρησαι,
ἵνα σοὶ κραυγάζωμεν˙
Ὁ τῶν πατέρων ἡμῶν,
Θεός, ευλογητὸς εἶ.

---

**heirm.** ζʹ, CPC 178
**76–81** A Sa: quatt. trop. in A **79**: Κων(σταντῖνε) ἔνδοξε A **80–81**: Εὐλογητὸς εἶ, Χριστέ,* ὁ μόνος εὐεργέτης. Sb **88–93** Sa **91** κραυγάζομεν Sa

---

**80–81, 92–93** cf. heirm. *5–6* Ὁ τῶν πατέρων ἡμῶν,* Θεός, ευλογητὸς εἶ.

Ὠιδὴ ηʹ. *Πάντα τὰ ἔργα τοῦ Θεοῦ*

Φιλοσοφίας ἐραστὴς
καὶ βασιλείας ἀνεδείχθης ἐπάξιος
καὶ τοῖς ὑπηκόοις ἀρετῆς
ὑπόδειγμα σεμνὸν
καὶ ὀρθοδοξίας φύλαξ πιστότατος˙
τὴν γὰρ πλάνην ἀπελάσας πᾶσιν ἐκήρυξας˙
Ὑμνεῖτε, λαοί,
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ταῖς θεοσδότοις ἀρεταῖς
σὺ βασιλεύειν ἠρετίσω, πανόλβιε˙
ταύταις γὰρ ψυχῆς τῆς ἑαυτοῦ
τὸ κράτος παρασχὼν
οἰκουμενικὴν εἰρήνην ἐβράβευσας
τοῦ Χριστοῦ ταῖς ἐκκλησίαις ἐγκελευόμενος˙
Ὑμνεῖτε, λαοί,
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Σὺ τὸ μὲν πρᾶον τοῦ Δαυὶδ
καὶ Σολομῶντος τὴν σοφίαν ἐζήλωσας
καὶ δι᾽ ἀμφοτέρων βασιλεὺς
πανάριστος δειχθεὶς
τῇ μὲν ἀγχινοίᾳ ἔθνη ὑπέταξας,
τοῦ Χριστοῦ <τῇ> ἐκκλησίᾳ δὲ ἀνεκήρυττες˙
Ὑμνεῖτε, λαοί,
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς πάντας τοὺς αἰῶνας.

Τῶν βασιλέων Βασιλεῦ,
τοῦ πιστοτάτου βασιλέως τὸ φρόνημα
τῇ σῇ καθοδήγησον βουλῇ
καὶ τούτῳ συνεργῶν
τὴν βαρβαρικὴν ὀφρὺν καθυπόταξον,
τὸν λαόν σου δὲ εἰρήνευσον, ἵνα κράζωμεν˙
Ὑμνεῖτε, λαοί,
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς πάντας τοὺς αἰῶνας.

+Τὸ ζωοποιὸν καὶ ἄχραντον
δῶρον, τὸ ξύλον τοῦ Σταυροῦ <υυύυυ>
<υυ> ἀναδειχθὲν ἐκ τῆς γῆς
<υύυυυύ>
<καὶ τοῖς> βασιλεῦσι κράτος ἐποίησε+
καὶ τὴν πλάνην καταργῆσαν κόσμον ἐφώτισε˙
Ὑμνεῖτε, λαοί,
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς πάντας τοὺς αἰῶνας.

---

**heirm.** η´ EE n. 152, Andreae
**94–138** Sa **99** ἐκηρύξατε cd. **104** πανόλβιαι cd. **114** βασιλεύ (sic) cd. **117** τοῦ: τῇ cd. δὲ scripsi: ἐπιεικῶς cd. **126** κράζωμεν scripsi m.c. collatis vv. 99, 108, 117, 135: κραυγάζομεν cd.

---

**100–102**, **109–111**, **118–120**, **127–129**, **136–138** Od 8, 82 **112** Ps 131, 1 **113** 3Reg 2, 35 Mt 12, 42 Lc 11, 31 **134** Lc 1, 51

Ὠιδὴ θ´. *Μεγαλύνομεν πάντες*

Βασιλείᾳ ἐννόμῳ (139–144)
.................................... = canon II (a)

Εὐσεβῶς βασιλεύσας (145–150)
.................................... = canon II (a)

Αὐτοκράτωρ τῶν παθῶν (150–155)
.................................... = canon II (a)

Ὁ ζωοποιὸς Σταυρὸς
ἐν τῇ γῇ κεκρυμμένος
εἰς οὐρανοὺς ἐδείκνυτο
τρόπαιον ἀήττητον,
{καὶ} βασιλεῖ ἐπιφανεὶς
κατὰ βαρβάρων νίκην ἐδωρήσατο.

Τὸν πιστὸν βασιλέα,
ὃν κατέστησας ἡμῖν,
στερέωσον, Δέσποτα,
καὶ τούτῳ ὑπόταξον
τὴν ἀντίθεον ὀφρὺν
τῶν βλασφημούντων Σταυρόν σου τὸν τίμιον.

---

**heirm.** θ´ EE n. 146, Germani
**156–161** Sa ed. AHG I, 241 **156–157**: an Ἐν τῇ γῇ κεκρυμμένος* ο ζωοποιὸς Σταυρὸς m.c.? **160** καὶ del. m.c. ἐπιφανεὶς: καταφανῆ AHG **162–167** Sa

### 3.4. Canon III[5]

K = Athous, Kausokalyvion 171, ff. 446–450 d. 1892, Diktyon num. 32078
La = Athous, Lavrae Ω 111, ff. 183–185 d. 1789, Diktyon num. 28975
ed. *AB*

Κανών, πρὸς τοὺς ἁγίους βασιλεῖς, Κωνσταντῖνον καὶ Ἑλένην.
Ὁ κανών.
Ὠιδὴ α΄. Ἦχος πλ. α΄. *Τῷ Σωτῆρι Θεῷ*

Κωνσταντίνου, πιστοί,
τοῦ βασιλέως σοφοῦ
ἰδοὺ ἡ μνήμη ἀνατέταλκεν,
ἡ τοῖς πιστοῖς πᾶσι φαιδρὰ καὶ κοσμοπόθητος·
διὸ πάντες ᾄσωμεν
πανηγυρίζοντες.

Ὁ προγνώστης Θεὸς
ὁ ἐκ μὴ ὄντων τὸ πᾶν
σοφῇ προνοίᾳ ὡς ἐπίσταται
καὶ τὸν σοφὸν <υυυ> Κωνσταντῖνον ἔδειξεν
ὡς πάμφωτον ἥλιον
ἐνδόξως λάμποντα.

Τῷ φωτὶ ἐλλαμφθεὶς
τοῦ ζωηφόρου Σταυροῦ
εἰδώλων πλάνην πᾶσαν ἔλιπες
καὶ τὸν Χριστὸν πάντων Θεὸν ὄντα προέκρινας·
διὸ καὶ δεδόξασαι
ὑπ᾽ αὐτοῦ, πάνσοφε.

<Θεοτοκίον>

{Ἄχραντε, Μῆτερ Θεοῦ,
τὸν σαρκωθέντα ἐκ σοῦ
καὶ ἐκ τῶν κόλπων τοῦ Γεννήτορος
μὴ ἐκφοιτήσαντα Θεὸν ἀπαύστως πρέσβευε
πάσης περιστάσεως
σῶσαι οὓς ἔπλασε.}

[5] For more details about the bibliography and the manuscripts of the Canon III, see A. Nikolaou, *The Hymnography…*, p. 625.

tit. La ¦ Μαΐου κα΄. Τῶν Ἁγίων Θεοστέπτων μεγάλων Βασιλέων καὶ Ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης K
**heirm.** α΄ EE n. 183, Ioannis
**1–18** cdd. *AB* **1–6** sec. trop. in K **3** ἀνατέταλκε K *AB* **7–12** prim. trop. in K **9** an ἐκ τοῦ μὴ ὄντος emendandum? **10** an ἄνακτα supplendum? ἔδοξεν *AB* **15** πᾶσαν om. K ἔλειπες La *AB* **16** ὄντα om. K **17–18**: σὺν Μητρὶ Ἑλένῃ τε,* Ἄναξ πανεύφημε K **19–24** K *AB* ed. PaR 370 Τῇ κάθε ᾠδῇ τὸ θεοτοκίον λέγε ἐκ τῆς Ὀκτωήχου trad. La **19** μήτηρ *AB* **24** ἔπλασεν *AB*

Ὠιδὴ γ΄. *Δυνάμει τοῦ Σταυροῦ σου, Χριστέ*

Ὑπῆλθες τῷ ζυγῷ τοῦ Χριστοῦ
στερεωθείς σου τὴν διάνοιαν
τῷ θείῳ ζήλῳ {τῷ} τῆς πίστεως,
Κωνσταντῖνε Ἰσαπόστολε.

Ἑλένη μακαρία, Σταυρόν,
τὸ θεῖον ὅπλον καὶ σωτήριον,
{τῶν} Χριστιανῶν τὴν πεποίθησιν,
ἔνδοξε, τοῖς πᾶσιν ἐδήλωσας.

Δυνάμει τοῦ Σταυροῦ τοῦ Χριστοῦ
ἐχθρὸν τὸν τύραννον ἀπέπνιξας
καὶ τοῖς πιστοῖς σὺ ἐκήρυξας
τὴν ἀήττητον ἐνέργειαν.

<Θεοτοκίον>

{Ικέτευε ἀπαύστως, Ἁγνή,
τὸν σαρκωθέντα ἐκ λαγόνων σου
ῥυσθῆναι <ἐκ> πάσης θλίψεως
τοὺς ὑμνοῦντας σε Μητέρα Θεοῦ.}

**heirm.** γ΄ EE n. 183, Ioannis
**25–36** cdd. *AB* **25–28** sec. trop. in K **27** τῷ del. m.c. **29–32** tert. trop. in K **31** τῶν del. m.c. **32**: an πᾶσιν, ἔνδοξε, ἐδήλωσας scribendum? **33–36** prim. trop. in K **37–40** K *AB* ed. PaR 371 **37** ἀπαύστω (sic) K **39** ἐκ suppl. m.c. πάσης θλίψεως K: πλάνης Διαβόλου PaR *AB* **40** Παρθένε Ἁγνή PaR *AB*

**25** cf. Mt 11, 29 **26** Od. 3, 1 cf. heirm. *2* στερέωσόν μου τὴν διάνοιαν **33** cf. heirm. *1*

Ὠιδὴ δʹ. *Εἰσακήκοα, Κύριε, τὴν ἀκοὴν*

Ῥητορεύειν τὰ κρείττονα σὲ ὁ Θεὸς
σοφῶς ἐξελέξατο τῷ κόσμῳ,
ὡς μόνος Θεὸς ἐστὶν ἡ Τριὰς
καὶ ἐκραύγαζες˙
Ἐπίγνωτε πάντες τὸν Κύριον.

Κωνσταντῖνε θεσπέσιε, καὶ βασιλεὺς
καὶ Ἰσαπόστολος τυγχάνεις
Βασιλέως τῶν δυνάμεων Θεοῦ,
τοῦ σὲ ζωγρήσαντος˙
ὅθεν πάντες σε γεραίρομεν.

Καὶ τοῖς τρόποις φιλόθεος ἐν γυναιξὶν
καὶ ταῖς πράξεσι μακαρία
ὡς παράδεισος ἐφάνης τῷ Θεῷ,
ὦ βασίλισσα
Ἑλένη, ὄντως Ἰσαπόστολε.

<Θεοτοκίον>

{Η Παρθένος ἔτεκε καὶ τὰ μητέρων οὐκ ἔγνω˙
ἀλλὰ Μήτηρ μὲν ἐστίν,
Παρθένος δὲ διέμεινεν˙
ἣν ἀνυμνοῦντες
«χαῖρε, Θεοτόκε» κραυγάζομεν.}

---

**heirm.** δʹ EE n. 183, Ioannis
**41–55** cdd. *AB* **41–45** sec. trop. in K **42** σαφῶς *AB* **45** Ἐπέγνωτε *AB* **46–50** prim. trop. in K **48** τοῦ ante βασιλέως K **49** an τοῦ ζωγρήσαντος σὲ m.c.? **51** Γυναιξὶ K *AB* **52** τοῖς K **54**: πανευφρόσυνος K **56–60** K *AB* ed. PaR 372 **57** ἐστι PaR

---

**45** Os 2, 22 **48–49** cf. 2Tim 2, 26 **53** cf. heirm. *3* ὡς παράδεισος ἠνοίγη δι᾽ αὐτοῦ

Ὠιδὴ εʹ. *Ὀρθρίζοντες βοῶμέν σοι, Κύριε*

Ἰδών σε Βασιλέα ἀθάνατον
ὕπαρ ὁ σὸς Κωνσταντῖνος ἐβόα σοι˙
Ἐκτός σου ἄλλον οὐκ ἐπίσταμαι.

Πιστεύσας ὁλοτρόπως τὸν Κύριον,
θεῖε, ὡς πρίν, βασιλεῦ, οἱ Ἀπόστολοι,
πανταχοῦ τοῦτον ἐκήρυξας.

Τρωθεῖσα τῇ ἀγάπῃ τοῦ Κτίστου σου
ταύτῃ καὶ τὸν υἱὸν μετερρύθμισας,
Ἑλένη θεία, κοσμοπόθητε.

<Θεοτοκίον>

{Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε,
Θεοτόκε˙ σὺ γὰρ τὸν Θεὸν Λόγον
σαρκὶ τῷ κόσμῳ ἐκύησας.}

---

**heirm.** ε´ EE n. 183, Ioannis
**61–69** cdd. *AB* **61–63** sec. trop. in K **64–66** prim. trop. in K **68** μετηρύθμησας K μετερύθμισας (sic) La **70–72** K *AB* ed. PaR 373 **72** τῷ Κόσμῳ PaR: τοῦ Κόσμου K

---

**63** Od 5, 13 **67** Ct 5, 8

Ὠιδὴ στ´. *Ἐκύκλωσέ με ἄβυσσος*

Λαμπρότητι τοῦ Κτίσαντος
τὸν τίμιον εἶδες λαμπόμενον
Σταυρὸν ὁδηγοῦντά σε
καὶ <υ> ἐκδιδάσκοντα˙
Ὦ Κωνσταντῖνε,
ἐν τούτῳ νίκᾳ πάντοτε.

Συνήθροισας, πανεύφημε,
τῶν θείων πατέρων τὸν ὅμιλον,
Τριάδα ἐκήρυξας
μιᾷ ἐν θεότητι
σέβειν τοὺς πάντας,
Κωνσταντῖνε Ἰσαπόστολε.

Πανήγυρις ἡ σύμπασα
σὴν μνήμην ὀρθόδοξον σήμερον
ἐνδόξως νῦν κέκτηται,
Κωνσταντῖνε μέγιστε,
Ἑλένη θεία,
ὦ βασιλεῖς θεόσοφοι.

<Θεοτοκίον>

{Βάτον σε ἀκατάφλεκτον
καὶ ὄρος καὶ κλίμακα ἔμψυχον
καὶ πύλην οὐράνιον
ἀξίως δοξάζομεν,
Μαρία ἔνδοξε,
ὀρθοδόξων καύχημα.}

---

**heirm.** στʹ EE n. 183, Ioannis
**73–90** cdd. *AB* **73–78** sec. trop. in K **76** an σε supplendum m.c.? **79–84** prim. trop. in K **82** ἐν: τῇ La **85** Πανήγυρις scripsi: Πανήγυριν cdd. *AB* **87** νῦν κέκτηται: ἐπλούτησε K **89** καὶ ante Ἑλένη K **90** θεόστεπτοι K **91–96** K *AB* ed. PaR 374

---

**91** Ex 3, 2 **92** Dn 2, 34 Gn 28, 12 **93** Gn 28, 17

Ὠιδὴ ζʹ. *Ὁ ἐν καμίνῳ πυρὸς*

Λαμπρυνομένη Θεοῦ
φωτὶ {ἡ} δυὰς τῶν βασιλέων
«εὐλογητός», ἐκβοᾷ,
«ὁ τῶν πατέρων Θεός».

Ὁ Ἀποστόλους ποτὲ
{τῷ} πυρὶ τοῦ Πνεύματος στομώσας
τοὺς βασιλεῖς ὁ αὐτὸς
Πνεύματος θείου ἔπλησεν.

Ὁ Βασιλεὺς ἐκλεκτοὺς
καὶ Ἀποστόλους τούτους δείξας˙
Εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν.

<Θεοτοκίον>

{Ὁ ἐκ Παρθένου τεχθεὶς
καὶ Θεοτόκον ταύτην δείξας˙
Εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν.}

---

**heirm.** ζ΄ EE, n. 183, Ioannis
**97–108** cdd. *AB* **97–100** sec. trop. in K **97** Θεοῦ: φωτὶ K **98** φωτὶ: τοῦ Θεοῦ K ἡ del. m.c. **101–104** prim. trop. in K **102** τῷ del. m.c. **104** ἔπλησε cdd. **109–112** K *AB* ed. PaR 375 **110**: ἣν Θεοτόκον ἀπειργάσω K

---

**101–102** Act 2, 3–4 **103–104** cf. Lc 1, 41 Lc 1, 67 Act 4, 31 **99–100**, **107–108**, **111–112** Od. 7, 26

Ὠιδὴ η΄. *Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων*

Ὁ ἐκ Πατρὸς πρὸ αἰώνων
γεννηθεὶς <υ> Υἱὸς καὶ Θεός,
Κωνσταντῖνον βασιλέα,
καὶ σαρκωθεὶς ἐκ Παρθένου Μητρὸς
σὺ ἐχρίσω τοῦτον,
ἵν᾽ οὕτως σὲ κηρύττῃ
εἰς πάντας τοὺς αἰῶνας.

Ὁ πορφυρίδα ἐνθέως
τὴν συμπάθειαν <υ> στολισθεὶς
καὶ ὁ χλαμύδα {τὴν} καλλίστην
τὴν πραότητα <κατα>κοσμηθείς,
βασιλεὺς ὁ θεῖος,
ὑμνεῖ ὁ Κωνσταντῖνος
{τὸν} Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁ Κωνσταντῖνος ὁ μέγας,
θεία Ἑλένη, οἱ βασιλεῖς,
νῦν ἐνδίκως τιμῶνται
ὡς κηρύξαντες παρρησίᾳ Χριστὸν
λέγοντες τοῖς πᾶσι˙
Λαός, ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

<Θεοτοκίον>

{Τῶν Χερουβὶμ ὑπερτέρα
ἀνεδείχθης, Θεοτόκε Ἁγνή,
ἐν τῇ γαστρί σου τὸν τούτοις
ἐποχούμενον βαστάσασα˙
ὃν σὺν Ἀσωμάτοις

βροτοὶ δοξολογοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.}

---

**heirm.** η´ EE n. 183, Ioannis
**113–133** cdd. *AB* **118** οὕτω K: an οὗτος emendandum? **121** an ἐνστολισθεὶς scribendum? **122** ὁ om. K τὴν del. m.c. **123** καταγλαϊσθείς K κατά- suppl. m.c. **126** τὸν del. m.c. **128** θεία Ἑλένη: καὶ ἡ Ἑλένη ἡ θεία K **134–140** K *AB* 179 ed. PaR 376 **137** βαστάσα (sic) K βαστάσαντα *AB*

---

**113–114** cf. heirm. *1–2* Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων* γεννηθέντα Υἱὸν καὶ Θεὸν **116** cf. heirm. *4* σαρκωθέντα ἐκ Παρθένου μητρὸς **119, 140** Dn 3, 52 **132–133** Dn 3, 57

Ὠιδὴ θ´. *Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ*

Σὲ ὁ λυτρωτὴς τοῦ κόσμου Χριστὸς ὁ Θεός,
Κωνσταντῖνε, τοῖς πέρασι
βασιλέα κέχρικεν˙
ἡμεῖς δέ σε τιμῶντες ἀγαλλόμεθα.

Σὲ τὴν παμφαῆ δυάδα, τοὺς θείους βασιλεῖς,
Κωνσταντῖνον τὸν μέγιστον,
Ἑλένην τὴν πάνσεπτον,
οἱ πιστοὶ ὁμοφρόνως νῦν γεραίρομεν.

Σοῦ τὴν ἱεράν, βασιλικὴ Θεοῦ δυάς,
Κωνσταντῖνε Ἑλένη τε,
ἡμέραν γεραίροντας
τοὺς πιστοὺς περιέποιτε φυλάττοντες.

<Θεοτοκίον>

{Χαῖρε, Θεοτόκε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ˙
ὃν ἐκύησας, Πάναγνε,
ἐκ γῆς ἀνιπτάμενον
σὺν Ἀγγέλοις ὁρῶσα ἐμεγάλυνες.}

---

**heirm.** θʹ EE n. 183, Ioannis
**141–152** cdd. *AB* **144** σε K **153–156** K ed. PaR 377: om. *AB* **153** Μῆτερ PaR **154** Πάναγνε K: αἴτησαι PaR **155–156**: πταισμάτων τὴν ἄφεσιν* δωρηθῆναι τοῖς ὑμνοῦσί σε PaR

---

**141–143** 4Reg 9, 3 et passim **148** cf. heirm. *4* οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν

### 3.5. Canon IV[6]

L = Athous, Lavrae Θ 32, ff. 312r–315r saec. XVI, Diktyon num. 27914

Τῷ αὐτῷ μηνὶ καʹ. Τῶν ἁγίων καὶ θεοστέπτων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης.
Ὁ κανών.
Acr. <Ἕκτην δέησιν προσδέχου, Κωνσταντῖνε>
Ὠιδὴ αʹ. Ἦχος πλ. βʹ. *Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ*

Ἐξ ἀναξίων χειλέων καὶ ῥυπαρῶν
δέησιν προσφέρω σοι,
Κωνσταντῖνε βασιλεῦ·
ταύτην προσδεξάμενος Θεὸν
ἀμοιβήν μοι παρασχεῖν
ἀεὶ ἱκέτευε.

Κάλλους ψυχῆς σου ὁ πλάστης καὶ ποιητὴς
ἐρασθείς, ἀοίδιμε
Κωνσταντῖνε βασιλεῦ,
/ ἀληθείας, μάκαρ, τῆς αὐτοῦ 313r
κατηξίωσεν ἀεὶ
ὡς παντοδύναμος.

Τίς σου, Ἑλένη, τὸ κάλλος τὸ τῆς ψυχῆς
ἐπαινέσει ᾄσμασιν;
ὅτι ξύλον τοῦ Σταυροῦ
τοῦ Χριστοῦ ζητήσασα θερμῶς
πάντα κόσμον δᾳδουχεῖς
τῇ προσκυνήσει αὐτοῦ.

---

6 For more details about the bibliography and the manuscripts of the Canon IV, see A. NIKOLAOU, *The Hymnography…*, p. 624.

<Θεοτοκίον>

Ὁ Ἡσαΐας, Παρθένε, τὰ περὶ σοῦ
πᾶσιν ἀνακέκραγεν˙
Ἡ Παρθένος ἐν γαστρὶ
τέξει Λόγον, ἄναρχον Θεὸν
καὶ Παρθένος ἀληθῶς
μενεῖ, ὡς ἦν καὶ τὸ πρίν.

---

tit. L | Acrostichis deducitur e tropariorum litteris initialibus
**heirm.** α´ EE n. 224, Ioannis
**4** Θεῷ cd. **19** σου cd. **24** μένει cd.

---

**19–22** Is 7, 14

Ὠιδὴ γ´. *Οὐκ ἔστιν ἅγιος ὡς σύ*

Ναὸς γενόμενος Θεοῦ
τῇ θεογενεσίᾳ
<υυύυυύυ>
τοῦ Σιλβέστρου βαπτισμῷ
καὶ τῶν εἰδώλων ναοὺς
καταστρέψας,
ἄναξ Κωνσταντῖνε σοφέ.

Δυνάμει ὄντως τοῦ Σταυροῦ,
Κωνσταντῖνε θεόφρον,
<υυύυυύυ>
τὸν ἐνάντιον ἐχθρόν,
καὶ νίκης στέμμα χειρὶ
τοῦ Δεσπότου
εἴληφας ἐπάξιον.

Ἐπιποθήσασα Χριστῷ
ἐφευρέθης, Ἑλένη,
τὸ τρισόλβιον ξύλον,
ὃ εὑροῦσα ἐν χαρᾷ
ἀνεκλαλήτῳ, σεμνή,
πάντα κόσμον
διὰ σοῦ ἐφώτισας.

<Θεοτοκίον>

Ἡ θεία κλίνη Σολομὼν
ἣν κυκλοῦσιν ἐν φόβῳ
+καὶ τὴν θείαν τὴν φωνὴν+
ἑξήκοντα δυνατοί,
Παρθενομῆτορ ἁγνή,
σὺ ὑπάρχεις,
Δέσποινα πανάμωμε.

---

**heirm.** γʹ EE n. 224, Ioannis
**26** θεογεννεσίᾳ (sic) cd. **27**: om. cd. **28** βαπτισμὸς cd. **29** ναοὺς scripsi: ἀεὶ cd. **33** θεόφρων cd. **34**: om. cd. **35** ἐναντίον (sic) cd. **39** an Χριστοῦ scribendum **42** ὃν cd. **45** σου cd. **47** κυκλοῦσιν scripsi: ὑμνοῦσιν cd. **48**: an κατὰ τὴν θείαν φωνὴν scribendum?

---

**25** 1Cor 3, 16 2Cor 6, 16 **42–43** 1Pe 1, 8 **46–49** Ct 3, 7

Ὠιδὴ δʹ. *Χριστός μου δύναμις*

Σοφίαν δέδωκας
τῷ σῷ θεράποντι
Σολομῶντος, οἰκτίρμον,
καὶ τοῦ Δαυὶδ
ὄντως τὴν πραότητα,
καὶ ἐβασίλευσεν ἐν γῇ
πρᾷος, δίκαιος γενόμενος.

Ἰκρίῳ, Κύριε,
Σταυροῦ προσπήγνυσαι
καὶ τὰ ἔθνη πρὸς πίστιν
τὴν ἀληθῆ
πάντα προσεκάλεσας,
καὶ κληρονόμον ἀψευδῆ
βασιλείας σου ἠξίωσας.

Ναὸς γεγένησαι
τοῦ θείου Πνεύματος,
Κωνσταντῖνε παμμάκαρ,
ὡς ἀληθῶς
ἥλιος ὑπέρλαμπρος˙
ἡ δὲ φαιδρὰ καὶ εὐμενὴς
νῦν Ἑλένη ἐχρημάτισεν.

<Θεοτοκίον>

Παρθένε Δέσποινα,
θεοχαρίτωτε,
ἡ Θεὸν καὶ Σωτῆρα
σωματικῶς
τέξασα, βοῶμεν σοι˙
Πάσης ἀνάγκης ἐξελοῦ
ταῖς πρεσβείαις σου τοὺς δούλους σου.

---

**heirm.** δ´ EE n. 224, Ioannis
**55** οἰκτίρμων cd. **61** προσπίγνυσιν (sic) cd. **64**: πάντας προσεκάλεσεν cd. **66** ἠξίωσεν cd.

---

**53–55** 3Reg 2, 35 **56–57** cf. Ps 131, 1 **62–66** Is 54, 3 **65–66** Iac 2, 5 **67–68** 1Cor 6, 19

Ὠιδὴ ε´. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ*

Ῥάβδον δυνάμεως τοῦ Σταυροῦ,
μάκαρ Κωνσταντῖνε, εἰληφώς,
παρὰ Θεοῦ δυναμούμενος,
ὅθεν ἐτροπώσω τὰς παρατάξεις ἐχθρῶν
διὰ τούτου ἑτοιμάσας
τὴν τοῦ Κυρίου ὁδόν.

Ὅλην τὴν πίστιν σου πρὸς Θεὸν
ὄντως ἀνατέθεικας, σοφὲ
ὦ Κωνσταντῖνε θεόπνευστε,
<ύυυυύυυύυύυυύ
υύυυυύυ
υυυύυυ>.

/ Σοῦ τὸν διάπυρον πρὸς Θεὸν 313v
πόθον ἐγνωρίσαμεν, σεμνὴ
οἷα Ἑλένη παντάνασσα˙
ὅτι καὶ τὸν θεῖον Σταυρὸν κρυπτόμενον
ἐν Ἱεροσολύμοις
σὺ ἐφανέρωσας.

<Θεοτοκίον>

Δέσποινα, πάντων τῶν ἐξ ἡμῶν
δέχου ἱκεσίας εὐμενῶς
καὶ τῷ Υἱῷ σου προσάγαγε˙
σὲ γὰρ πᾶσα κτίσις προστάτιν κέκτηται,
ἐλπίδα τε καὶ τεῖχος
καὶ ῥύστιν πάντων κακῶν.

---

**heirm.** ε´ EE n. 224, Ioannis
**85** διὰ τούτου ἑτοιμάσας scripsi: τὴν τούτου ἐπαυξήσας cd. **90–92**: om. cd. **93** Σὺ τὸ διάπειρον cd. **94** πόθῳ cd. **99** ἐξ: εἰς cd. **100** ἱκεσίαις εὐμενῆ cd. **102** προστάτην cd. **104** ῥύστην cd.

---

**81** Ps 109, 2 **85** Is 40, 3

Ὠιδὴ στ´. *Τοῦ βίου τὴν θάλασσαν*

Ἐπίγειος ἄγγελος
ἀνεδείχθης ἀληθῶς
καὶ οὐράνιος ἄνθρωπος,
παμμάκαρ Κωνσταντῖνε, μύστα Χριστοῦ˙
διό σε γεραίρομεν
καταχρέως καὶ πίστει μακαρίζομεν.

Χαρᾶς ἡμῖν πρόξενοι
χρηματίζετε ἀεί,
ὦ Κωνσταντῖνε μέγιστε,
καὶ συναυλίζει, μάκαρ, τῇ σῇ μητρὶ
Σταυρὸν νῦν τὸν τίμιον
εὑρηκότες˙ δι᾽ οὗ γὰρ καὶ σωζόμεθα.

Οὐράνιοι ἄγγελοι
ὑπεδέξαντο ὑμῶν
μετὰ χαρᾶς τὰ πνεύματα
καὶ ἐν σκηναῖς αὐλίζεσθαι οὐρανοῖς
σὺν αὐτοῖς δικαιοῦσθε,
Κωνσταντῖνε, Ἑλένη παναοίδιμε.

<Θεοτοκίον>

Ὑμνοῦμεν, θεόνυμφε,
τὸν τεχθέντα ἐκ τῶν σῶν
λαγόνων, μητροπάρθενε˙
ὅτι Θεὸς καὶ ἄνθρωπος ἀψευδὴς
γενόμενος ὕψωσεν
τὴν πεσοῦσαν οὐσίαν, ἀειπάρθενε.

---

**heirm.** στ΄ EE n. 224, Ioannis
**111** πρόξενος cd. **112** χρηματίσαντες cd. **114** τῇ σῇ μητρὶ scripsi: ὡς ἀληθῶς cd. ὡς s.l. **115** νῦν scripsi: γὰρ cd. **120** αὐλίζεσθε cd. **121** αὐτοῖς scripsi: δυσὶ cd. δικαιοῦσθαι cd. **128** ἀειπάρθενε: μητροπάρθενε cd. fort. ex errore, vid. v. 125

Ὠιδὴ ζ΄. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Κωνσταντῖνον τὸν θεόστεπτον τιμήσωμεν
ἅμα σὺν τῇ Ἑλένῃ φαιδρῶς
καὶ βοήσωμεν˙
Ὁ Θεὸς ταῖς τούτων προσευχαῖς
κατάπεμψον ἄνωθεν ἡμῖν
τὰ σὰ ἐλέη ὡς Θεὸς
καὶ παντοδύναμος.

Ὥσπερ ἥλιος πολύφωτος τὴν σύμπασαν
κτίσιν, σοφέ, ἐλάμπρυνας
τοῖς ἐνθέοις σου
καὶ ποικίλοις λόγοις, καὶ Θεὸν
ἐδίδαξας μέλπει<ν> ἐμμελῶς˙
Εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Νενικηκότες τῆς πλάνης τὰ φρυάγματα,
πίστιν δὲ τὴν ὀρθόδοξον
μεγαλύναντες
Κωνσταντῖνος ἅμα σὺν μητρὶ
Ἑλένῃ βοῶσιν ἐν χαρᾷ˙
Εὐλογητὸς εἶ, ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

<Θεοτοκίον>

Σὲ χωρίον ὡς εὐρύχωρον ἀνέδειξεν
καὶ σοῦ τὴν μήτραν ᾤκησεν,
ὡς ἠθέλησεν,
/ καὶ τεχθεὶς τὸ φύραμα ἡμῶν, 314r
ὡς οἶδεν, ἐπλήρωσε Θεὸς
ὁ ἐκ γαστρός σου προελθών,
κόρη πανάμωμε.

---

**heirm.** ζ´ EE n. 224, Ioannis
**133** ὑμᾶς cd. **145** μεγαλύνοντες cd. **146** Κωνσταντῖν(ον) cd. **147** Ἑλένην βοῶντες cd. **152** ἠθέλησεν scripsi: ἐνήθλησεν cd. **153** φύραμα scripsi: φρύαγμα cd.

---

**141–142, 148–149** Od 7, 26

Ὠιδὴ η´. *Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας*

Τὴν τρισήλιον μίαν αὐτὴν θεότητα
τῆς Τριάδος συμμύστης, μάκαρ, γενόμενος,
ἄναξ Κωνσταντῖνε,
Ἑλένῃ μακαρίᾳ,
ἣν ὑπερυψοῦμεν
εἰς <πάντας τοὺς αἰῶνας>.

Ἀπὸ πάσης ἀνάγκης καὶ περιστάσεως,
Κωνσταντῖνε, Ἑλένη, ἡμᾶς λυτρώσασθε
πόθῳ τοὺς ὑμῶν
τῷ ναῷ καταφεύγοντας
καὶ δοξολογοῦντας
εἰς πάντας τοὺς αἰῶνας.

Νεῦσον λόγοις, οἰκτίρμον, ὡς ὑπεράγαθος,
εὐπροσδέκτοις πρεσβείαις τῶν θεραπόντων σου,
ἅμα δὲ Μητρί,
καὶ πάντων τῶν ἁγίων σου
τοῦ κατοικτειρῆσαι
τὸ πλάσμα σου εἰς τέλος.

<Θεοτοκίον>

Τί τὸ ξένον τοῦ θείου τόκου σου, πάναγνε;
πῶς Παρθένος καὶ Μήτηρ ὑπάρχεις ἄνανδρος;
ὄντως ὑπὲρ νοῦν
τὸ μυστήριον γέγονεν,
μόνη Θεοτόκε,
ἁγνὴ εὐλογημένη.

---

**heirm.** η΄ EE n. 224, Ioannis
**158** συμμύστα cd. **161–162**: alia manu scripta **164** λυτρώσασθαι cd. **178** γέγονας cd.

---

**161–162**, **168** Od 8, 57 cf. heirm. *5–6* σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας

Ὠιδὴ θ΄. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Ἰδοὺ ἠστράψατε ὑπὲρ {τὸν} ἥλιον
καὶ φωταυγεῖς ἀκτῖνας οἰκουμένης τὰ πέρατα
καταυγάζετε, ὅθεν αὐγάζεσθε,
+ὅθεν ἐν χαρμοσύνῃ,+
ἄναξ παμμέγιστε,
θεῖε Κωνσταντῖνε σὺν μητρὶ
Ἑλένῃ, ἔνδοξε.

Νεκρόν με ἔδειξεν ὁ παμπόνηρος
φθόνῳ˙ τρυφῆς τῆς θείας ἠξιώσασθε, ἅγιοι˙
ἀλλὰ τιμῆς τῆς ταύτης ἐξέπεσα˙
πάλιν εἰσαγαγόντες
καὶ ἀπόδοτέ μοι
τὸν θεῖον παράδεισον ἡμῶν
θείαις ἐντεύξεσιν.

Εἰρήνην, ἅγιοι, ἐξαιτήσασθε
παρὰ Θεοῦ τῇ πόλει, τῷ λαῷ, ταῖς ψυχαῖς ἡμῶν,
Κωνσταντῖνε, Ἑλένη μακάριοι,
βάρβαρα ἔθνη πάντα
καταδιώξαντες
καὶ τῆς ἐκκλησίας τοῦ Θεοῦ
θείαν ὁμόνοιαν.

<Θεοτοκίον>

Ἐκ σοῦ ἀνέτειλεν, Κόρη, ἥλιος˙
ὁ πλαστουργὸς τοὺς πίστει προσκυνοῦντας ἀστράπτοντας
καὶ σὲ ὡς σελήνην πανυπέρφωτον
ἔδειξε, Θεοτόκε,
πίστει δοξάζουσαν˙
ὅθεν καὶ ἡμεῖς οἱ γηγενεῖς
σὲ μεγαλύνομεν.

---

**heirm.** θ΄ EE n. 224, Ioannis
**181** τὸν del. m.c. **190** ταύτης ἐξέπεσα scripsi: τούτου ἐκπέσαντα cd. **196** Θεὸν ἀεὶ τὴν πόλιν καὶ τὸν λαὸν cd. **199** καταδιώξαντες scripsi: ἀποδιώξατε cd. **205** Θεοτόκον cd.

---

Ps 18, 5 Rom 10, 18 **189–190** Gn 3, 23–24

## 4. Index verborum memorabilium[7]

ἀστροδεικτούμενος I 9
δᾳδουχεῖς IV 17
ἐλλαμφθείς III 13
θεοπύργωτον I 21
θεοστέπτῳ II(b) 22
κιρνῶν II(a) 109
κοσμοπόθητος III 4
παμφαῆ III 145
πανυπέρφωτον IV 204
πρωτοστεφῆ I 82
πρωτόστεφον I 61

---

[7] The criteria for choosing words for the "index verborum memorabilium" are the rarity and the poetic form of the word.

## Bibliography

"Ἁγιορειτική Βιβλιοθήκη" / "Agioreitikē Bibliothēkē", monthly ecclesiastical journal, vol. 1936–1965.

Christ W., Paranikas M., *Anthologia graeca carminum christianorum*, Lipsiae 1871.

"Ἐκκλησιαστικός Φάρος"/ "Ekklēsiastikos Pharos", monthly ecclesiastical journal.

Eustratiades S., *Heirmologion*, Athēna 2006.

Gassisi S., *Innologia Graeca in onore dei SS. Constantino ed Elena*, "Rome et l' Orient" 6, 1913, p. 57–85.

*Mēnaia tou olou eniavtou*, vol. I–VI, En Rōmē 1888–1901.

Nikolaou A., *The Hymnography in Honour of Saints Constantine and Helena and its Connection with Imperial Ideology*, "Studia Ceranea" 13, 2023, p. 619–642, https://doi.org/10.18778/2084-140X.13.04

*Paraklētikē, ētoi Oktōēchos ē Megalē*, Rome 1883.

Schirò I. *et al.*, *Analecta Hymnica Graeca e codicibus eruta Italiae Inferioris*, vol. I–XII, Roma 1966–1980.

**Anastasia Nikolaou**
Democritus University of Thrace
School of Humanities
Department of Humanities